E καὶ παρὰ τὴν ἀξίαν ἑαυτὸν βλάπτει· τοῦτο δ' ἦν τὸ ἀδι-
κεῖν· ὁ ἄρ' ἀδικούμενος καὶ ὑφ' ὁτουοῦν πᾶς ἑαυτὸν ἀδικεῖ.'

17. *Τὸν περὶ ἀγαθῶν καὶ κακῶν λόγον*, ὃν αὐτὸς εἰσάγει
καὶ δοκιμάζει, συμφωνότατον εἶναί φησι τῷ βίῳ καὶ μά-
λιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων. ταυτὶ γὰρ ἐν
τῷ τρίτῳ τῶν Προτρεπτικῶν εἴρηκεν· ἐν δὲ τῷ πρώτῳ
τοῦτον τὸν λόγον φησὶν ἀπὸ τῶν ἄλλων ἁπάντων ἀφέλκειν
τὸν ἄνθρωπον ὡς οὐδὲν ὄντων πρὸς ἡμᾶς οὐδὲ συνεργούν-
των πρὸς εὐδαιμονίαν οὐδέν. ὅρα τοίνυν, πῶς αὑτῷ σύμφω-
νός ἐστι, τὸν ἀφέλκοντα τοῦ ζῆν καὶ τῆς ὑγιείας καὶ τῆς
ἀπονίας καὶ τῆς τῶν αἰσθητηρίων ὁλοκληρίας καὶ μηδὲν
F εἶναι ταῦτα φάσκοντα πρὸς ἡμᾶς, ἃ παρὰ τῶν θεῶν αἰτού-
μεθα, μάλιστα συμφωνεῖν τῷ βίῳ καὶ ταῖς κοιναῖς προ-
λήψεσιν ἀποφαινόμενος. ἀλλ' ἵνα μηδ' ἄρνησις ᾖ τοῦ
τἀναντία λέγειν, ἐν τῷ τρίτῳ περὶ Δικαιοσύνης ταῦτ'
εἴρηκε· 'διὸ καὶ διὰ τὴν ὑπερβολὴν τοῦ τε μεγέθους καὶ
τοῦ κάλλους πλάσμασι δοκοῦμεν ὅμοια λέγειν καὶ οὐ
**1042** κατὰ τὸν ἄνθρωπον καὶ τὴν ἀνθρωπίνην φύσιν.' | ἔστιν
οὖν ὅπως ἄν τις ἐξομολογήσαιτο σαφέστερον τἀναντία
λέγειν αὐτὸς πρὸς ἑαυτὸν ἢ οὗτος, ἃ δι' ὑπερβολήν φησι
πλάσματα δοκεῖν εἶναι καὶ ὑπὲρ τὸν ἄνθρωπον καὶ ὑπὲρ
τὴν ἀνθρωπίνην φύσιν λέγεσθαι, ταῦτα συμφωνεῖν τῷ βίῳ
φάσκων καὶ μάλιστα τῶν ἐμφύτων ἅπτεσθαι προλήψεων;

18. *Οὐσίαν κακοδαιμονίας* ἀποφαίνει τὴν κακίαν, ἐν
παντὶ βιβλίῳ φυσικῷ καὶ ἠθικῷ γράφων καὶ διατεινόμενος
ὅτι 'τὸ κατὰ κακίαν ζῆν τῷ κακοδαιμόνως ζῆν ταὐτόν
ἐστιν'· ἐν δὲ τῷ τρίτῳ περὶ Φύσεως ὑπειπὼν ὅτι 'λυσιτελεῖ
ζῆν ἄφρονα μᾶλλον ἢ ⟨μὴ⟩ βιοῦν, κἂν μηδέποτε μέλλῃ φρο-